ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΧΙΟΥ, ΨΑΡΩΝ & ΟΙΝΟΥΣΣΩΝ

Ἐν Χίῳ τῇ 2ᾳ Μαρτίου 2026
Μνήμη Ἡσυχίου μάρτυρος

Πρωτ. 604
Ἀριθμ.
Διεκπ. 225

# ΕΓΚΥΚΛΙΟΝ ΣΗΜΕΙΩΜΑ

Π ρ ό ς
Τόν Ἱερόν Κλῆρον
τῆς καθ' ἡμᾶς Ἱερᾶς Μητροπόλεως

Διά τοῦ παρόντος, γνωρίζομεν ὑμῖν, ὅτι τήν Κυριακήν τῆς Δ΄ Ἑβδομάδος τῶν Νηστειῶν 22αν Μαρτίου ἐ. ἔ., Ἐπέτειον τοῦ μεγάλου καί φοβεροῦ σεισμοῦ, ὁ ὁποῖος ἔπληξε τήν Χίον τήν 22αν Μαρτίου 1881, μέ συνέπειαν χιλιάδας θυμάτων καί πλῆθος ἐρειπίων, δέον ὅπως εἰς τό τέλος τῆς **Θ. Λειτουργίας**, ἀναπέμψητε τήν κατωτέρω **Δέησιν**.

## Δ Ε Η Σ Ι Σ

### Ἀπολυτίκιον

« Ὁ ἐπιβλέπων ἐπί τήν γῆν καί ποιῶν αὐτήν τρέμειν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς, Χριστέ ὁ Θεός ἡμῶν, καί κατάπεμψον ἡμῖν πλούσια τά ἐλέη σου, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε».

### Ἐκτενής

«Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καί ἐλέησον.

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν Μάρκου καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ τοῦ διαφυλαχθῆναι τήν ἁγίαν ἐκκλησίαν, τήν νῆσον, τήν πόλιν καί τήν ἐνορίαν ταύτην καί πᾶσαν πόλιν καί χώραν ἀπό ὀργῆς, λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου καί αἰφνιδίου θανάτου· ὑπέρ τοῦ ἵλεων, εὐμενῆ καί εὐδιάλλακτον γενέσθαι τόν ἀγαθόν καί φιλάνθρωπον Θεόν ἡμῶν

τοῦ ἀποστρέψαι καί διασκεδάσαι πᾶσαν ὀργήν καί νόσον τήν καθ' ἡμῶν κινουμένην καί ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καί ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα ὑπέρ μακαρίας μνήμης καί αἰωνίου ἀναπαύσεως πάντων τῶν θυμάτων τοῦ μεγάλου καί φοβεροῦ σεισμοῦ τῆς νήσου ταύτης καί ὑπέρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καί ἀκούσιον.

Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις καί Σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.»

**Ε Υ Χ Η**

Τοῦ Κυρίου δεηθῶμεν

« Ὁ Θεός, ὁ μέγας, καί φοβερός, καί θαυμαστός, ὁ μόνος ἀληθινός, ὁ ποιῶν πάντα, καί μετασκευάζων˙˙ ὁ ἐπιβλέπων ἐπί τήν γῆν, καί ποιῶν αὐτήν τρέμειν˙˙ ὁ ἁπτόμενος τῶν ὀρέων καί καπνίζονται˚ ὁ σείων τήν ὑπ' οὐρανόν ἐκ θεμελίων, οἱ δέ στύλοι αὐτῆς οὐ σαλεύονται˚ ὁ τά θεμέλια τῆς γῆς σαλεύων, ἥδρασται δέ τῷ σῷ νεύματι˚ ὅν πάντα φρίσσει καί τρέμει ἀπό προσώπου τῆς δυνάμεώς σου˚ ὅτι ἀνυπόστατος ἡ ὀργή τῆς ἐπί ἡμᾶς τούς ἁμαρτωλούς ἀπειλῆς σου, ἀμέτρητόν τε καί ἀνεξιχνίαστον τό ἔλεος τῆς ἐπαγγελίας σου˚ αὐτός μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καί τά ἐλέη σου παράσχου ἡμῖν, ὅτι ἀπό τοῦ αἰῶνός εἰσι˚ στήριξον τήν κτίσιν, στερέωσον τήν γῆν, παῦσον τόν κλόνον αὐτῆς, ἕδρασον τήν δονηθεῖσαν οἰκουμένην, καί μή συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, μηδέ καταδικάσῃς ἡμᾶς ταῖς ἁμαρτίαις ἡμῶν, ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Ὅτι σύ εἶ ὁ Θεός ἡμῶν, Θεός τοῦ ἐλεεῖν καί σώζειν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. »

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΧΙΟΥ

Ἐντολῇ τοῦ Σεβ. Μητροπολίτου
Ὁ Γενικός Ἀρχιερατικός Ἐπίτροπος

Πρωτοπρ. Δ. Γεόμελος

**+Πρωτοπρ. Δημήτριος Κ. Γεόμελος**